Κεφάλαιο Β, 35

Κείμενο ( Προοίμιο - Η ιδιαιτερότητα των επιταφίων )

[35] *Οἱ μέν πολλοί τῶν ἐνθάδε ἤδη εἰρηκότων ἐπαινοῦσι τόν προσθέντα, τῷ νόμῳ, τόν λόγον τόνδε,*

*ὡς καλόν ἐπί τοῖς ἐκ τῶν πολέμων θαπτομένοις ἀγορεύεσθαι αὐτόν.*

*Ἐμοὶ δὲ ἀρκοῦν ἂν ἐδόκει εἶναι*

*ἀνδρῶν ἀγαθῶν ἔργῳ γενομένων ἔργῳ καὶ δηλοῦσθαι τὰς τιμάς,*

*οἷα καὶ νῦν περὶ τὸν τάφον τόνδε δημοσίᾳ παρασκευασθέντα ὁρᾶτε,*

*καὶ μὴ ἐν ἑνὶ ἀνδρὶ πολλῶν ἀρετὰς κινδυνεύεσθαι εὖ τε καὶ χεῖρον εἰπόντι πιστευθῆναι.*

*Χαλεπὸν γὰρ τὸ μετρίως εἰπεῖν*

*ἐν ᾧ μόλις καὶ ἡ δόκησις τῆς ἀληθείας βεβαιοῦται.*

*Ὅ τε γὰρ ξυνειδὼς καὶ εὔνους ἀκροατὴς*

*τάχ' ἄν τι ἐνδεεστέρως πρὸς ἃ βούλεταί τε καὶ ἐπίσταται νομίσειε δηλοῦσθαι,*

*ὅ τε ἄπειρος ἔστιν ἃ καὶ πλεονάζεσθαι, διά φθόνον,*

*εἴ τι ὑπὲρ τὴν αὑτοῦ φύσιν ἀκούοι·*

*μέχρι γὰρ τοῦδε ἀνεκτοὶ οἱ ἔπαινοί εἰσι περὶ ἑτέρων λεγόμενοι,*

*ἐς ὅσον ἂν καὶ αὐτὸς ἕκαστος οἴηται ἱκανὸς εἶναι δρᾶσαί τι ὧν ἤκουσεν˙*

*τῷ δὲ ὑπερβάλλοντι αὐτῶν φθονοῦντες ἤδη καὶ ἀπιστοῦσιν.*

*Ἐπειδὴ δὲ τοῖς πάλαι οὕτως ἐδοκιμάσθη ταῦτα καλῶς ἔχειν,*

*χρὴ καὶ ἐμὲ ἑπόμενον τῷ νόμῳ*

*πειρᾶσθαι ὑμῶν τῆς ἑκάστου βουλήσεώς τε καὶ δόξης τυχεῖν ὡς ἐπὶ πλεῖστον.*